20 μαι αὐτούς. [20]οἱ δὲ ἄδικοι οὕτως κλυδωνισθήσονται καὶ ἀναπαύ-
21 σασθαι οὐ δυνήσονται. [21]οὐκ ἔστιν χαίρειν τοῖς ἀσεβέσιν, εἶπεν
κύριος ὁ θεός.
58 [1]Ἀναβόησον ἐν ἰσχύι καὶ μὴ φείσῃ, ὡς σάλπιγγα ὕψωσον τὴν
φωνήν σου καὶ ἀνάγγειλον τῷ λαῷ μου τὰ ἁμαρτήματα αὐτῶν καὶ
2 τῷ οἴκῳ Ιακωβ τὰς ἀνομίας αὐτῶν. [2]ἐμὲ ἡμέραν ἐξ ἡμέρας ζητοῦ-
σιν καὶ γνῶναί μου τὰς ὁδοὺς ἐπιθυμοῦσιν· ὡς λαὸς δικαιοσύνην
πεποιηκὼς καὶ κρίσιν θεοῦ αὐτοῦ μὴ ἐγκαταλελοιπὼς αἰτοῦσίν με
3 νῦν κρίσιν δικαίαν καὶ ἐγγίζειν θεῷ ἐπιθυμοῦσιν [3]λέγοντες Τί ὅτι
ἐνηστεύσαμεν καὶ οὐκ εἶδες; ἐταπεινώσαμεν τὰς ψυχὰς ἡμῶν καὶ
οὐκ ἔγνως; ἐν γὰρ ταῖς ἡμέραις τῶν νηστειῶν ὑμῶν εὑρίσκετε τὰ
θελήματα ὑμῶν καὶ πάντας τοὺς ὑποχειρίους ὑμῶν ὑπονύσσετε.
4 [4]εἰ εἰς κρίσεις καὶ μάχας νηστεύετε καὶ τύπτετε πυγμαῖς ταπεινόν,
ἵνα τί μοι νηστεύετε ὡς σήμερον ἀκουσθῆναι ἐν κραυγῇ τὴν φωνὴν
5 ὑμῶν; [5]οὐ ταύτην τὴν νηστείαν ἐξελεξάμην καὶ ἡμέραν ταπεινοῦν
ἄνθρωπον τὴν ψυχὴν αὐτοῦ· οὐδ᾽ ἂν κάμψῃς ὡς κρίκον τὸν τρά-
χηλόν σου καὶ σάκκον καὶ σποδὸν ὑποστρώσῃ, οὐδ᾽ οὕτως καλέ-
6 σετε νηστείαν δεκτήν. [6]οὐχὶ τοιαύτην νηστείαν ἐγὼ ἐξελεξάμην,
λέγει κύριος, ἀλλὰ λῦε πάντα σύνδεσμον ἀδικίας, διάλυε στραγγα-
λιὰς βιαίων συναλλαγμάτων, ἀπόστελλε τεθραυσμένους ἐν ἀφέσει
7 καὶ πᾶσαν συγγραφὴν ἄδικον διάσπα· [7]διάθρυπτε πεινῶντι τὸν
ἄρτον σου καὶ πτωχοὺς ἀστέγους εἴσαγε εἰς τὸν οἶκόν σου· ἐὰν
ἴδῃς γυμνόν, περίβαλε, καὶ ἀπὸ τῶν οἰκείων τοῦ σπέρματός σου
8 οὐχ ὑπερόψῃ. [8]τότε ῥαγήσεται πρόιμον τὸ φῶς σου, καὶ τὰ ἰά-
ματά σου ταχὺ ἀνατελεῖ, καὶ προπορεύσεται ἔμπροσθέν σου ἡ δι-
9 καιοσύνη σου, καὶ ἡ δόξα τοῦ θεοῦ περιστελεῖ σε· [9]τότε βοήσῃ,
καὶ ὁ θεὸς εἰσακούσεταί σου· ἔτι λαλοῦντός σου ἐρεῖ Ἰδοὺ πάρειμι.
ἐὰν ἀφέλῃς ἀπὸ σοῦ σύνδεσμον καὶ χειροτονίαν καὶ ῥῆμα γογγυ-
10 σμοῦ [10]καὶ δῷς πεινῶντι τὸν ἄρτον ἐκ ψυχῆς σου καὶ ψυχὴν τετα-
πεινωμένην ἐμπλήσῃς, τότε ἀνατελεῖ ἐν τῷ σκότει τὸ φῶς σου,
11 καὶ τὸ σκότος σου ὡς μεσημβρία. [11]καὶ ἔσται ὁ θεός σου μετὰ
σοῦ διὰ παντός· καὶ ἐμπλησθήσῃ καθάπερ ἐπιθυμεῖ ἡ ψυχή σου,
καὶ τὰ ὀστᾶ σου πιανθήσεται, καὶ ἔσῃ ὡς κῆπος μεθύων καὶ ὡς

20 ουτως > BV† | ου] + μη ScL | fin.] + οτι(O και) αποβαλλεται το υδωρ αυτης καταπατημα και πηλον(O -ος) L (in O sub ※) || 21 τοις ασεβ. in finem tr. BV† = 𝔐: cf. 48 22 | κυριος > BL = 𝔐

58 1 σαλπιγγα AQC] -γι BL, -γος S† | τας ανομιας] τα ανομηματα S† || 2 ζητησουσιν ACp | μου / τας οδους] tr. SL | επιθυμησουσιν S* | δικαιοσυνην] + θεου A† | νυν] > V†, in O sub ÷ || 3 ουκ εγνως] ου προσεσχες A† || 4 ει] > SAQC: ante εις; ιδου V† (in O sub ※) || 5 ουδ ουτως] ουδ ως SL | δεκτην] και ημεραν δεκτην τω κυριω L (και ημ. et τω πιπι[cf. 48 14] in O sub ※) || 7 εισαγαγε SCp || 10 αρτον] + σου A | fin.] + εσται S*† || 11 σου $1^0 \frown 2^0$ A† | καθαπερ] καθα S* | εση L] εσται BSAQC

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/648 UNIVERSITÄT LEIPZIG